77.

## *ΠΛΟΥΤΑΡΧΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΟΤΕΡΟΝ ΨΥΧΗΣ Η ΣΩΜΑΤΟΣ ΕΠΙΘΥΜΙΑ ΚΑΙ ΛΥΠΗ*

**1.** *Ἡ μὲν πρόθεσις περὶ ἐπιθυμίας γέγονε καὶ λύπης, πότερον σώματος πάθος ἐστὶν ἢ ἐπὶ σώματι ψυχῆς· καὶ γὰρ εἰ τὴν αὐτοπάθειαν ἀπολύσεται τὸ σῶμα τούτων, οὐ διαφεύξεται τὴν αἰτίαν, ἀλλὰ διὰ σώματος πάθη φαίνεται, κἂν περὶ ψυχὴν ἀπελέγχηται. ἡ δὲ κοινότης τοῦ λόγου καὶ τὰ λοιπὰ πάθη ζητήσει συνυποβάλλει, φόβον καὶ ἡδονήν, ὧν τὸ μὲν λύπῃ, τὸ δ' ἐπιθυμίᾳ συμπέφυκεν, εἴ γε πᾶς ἄνθρωπος ὧν μὲν λυπεῖται παρόντων, ὧν δὲ δέδιε μελλόντων, ὧν δ' ὀρέγεται [καὶ] μὴ παρόντων, οἷς δ' ἥδεται δεδομένοις. τὸν μὲν γὰρ κόσμον οἱ φυσικοὶ λέγουσιν ἐκ τεττάρων σωμάτων πρώτων καὶ μεγίστων συνηρμόσθαι, κατ' ἀντίθεσιν καὶ ἀντίταξιν ἀλλήλοις ἄνω καὶ κάτω φύσει ῥεπόντων, τὴν δὲ κακίαν καὶ ἀκοσμίαν τὴν ἐν ἡμῖν τέσσαρα πάθη τὰ πρῶτα κινεῖ καὶ διαφέρει πρὸς τοὐναντίον ἀτάκτως καὶ ἀλόγως, ἄνω μὲν ἡδονὴ καὶ κάτω λύπη, πρόσω δ'*